καθειργνυμένην εἰς τὸ σῶμα οὐκ ἐᾷ πάλιν σκεδάννυσθαι. ταὐτὸ δὴ τοῦτο τοῖς πράγμασιν ὑπάρχον ἐξαπατᾷ τοὺς πολλούς, ⟨ὡς⟩, ἂν οἰκίας μεγάλας περιβάλωνται καὶ πλῆθος ἀνδραπόδων καὶ χρημάτων συναγάγωσιν, ἡδέως βιωσομένους. τὸ δ' ἡδέως ζῆν καὶ ἱλαρῶς οὐκ ἔξωθέν ἐστιν, ἀλλὰ τοὐναντίον ὁ ἄνθρωπος τοῖς περὶ αὑτὸν πράγμασιν ἡδονὴν καὶ χάριν ὥσπερ ἐκ πηγῆς τοῦ ἤθους προστίθησιν.

'αἰθομένου δὲ πυρὸς γεραρώτερος οἶκος ἰδέσθαι' (Homeri D vita Herod. 31 = Certam. 273), καὶ πλοῦτος ἡδίων καὶ δόξα λαμπροτέρα καὶ δύναμις, ἂν τὸ ἀπὸ ψυχῆς ἔχῃ γῆθος· ὅπου καὶ πενίαν καὶ φυγὴν καὶ γῆρας ἐλαφρῶς καὶ προσηνῶς πρὸς εὐκολίαν καὶ πραότητα τρόπου φέρουσιν. (2.) Ὡς γὰρ ἀρώματα τρίβωνας εὐώδεις καὶ ῥάκια ποιεῖ, τοῦ δ' Ἀγχίσου τὸ σῶμα ἰχῶρα πονηρὸν ἐξεδίδου 'νώτου καταστάζοντα βύσσινον φάρος' (Soph. fr. 344,3) οὕτω μετ' ἀρετῆς καὶ δίαιτα πᾶσα καὶ βίος ἄλυπός ἐστι καὶ ἐπιτερπής, ἡ δὲ κακία καὶ τὰ λαμπρὰ φαινόμενα καὶ πολυτελῆ καὶ σεμνὰ μιγνυμένη λυπηρὰ καὶ ναυ- E τιώδη καὶ δυσπρόσδεκτα παρέχει τοῖς κεκτημένοις.

'οὗτος μακάριος ἐν ἀγορᾷ νομίζεται,
ἐπὰν δ' ἀνοίξῃ τὰς θύρας, τρισάθλιος·
γυνὴ κρατεῖ πάντων, ἐπιτάττει, μάχετ' ἀεί' (Men. fr. 302).

καίτοι γυναικὸς οὐ χαλεπῶς ἄν τις ἀπαλλαγείη πονηρᾶς ἀνὴρ ὤν, μὴ ἀνδράποδον· πρὸς δὲ τὴν ἑαυτοῦ κακίαν οὐκ ἔστι γραψάμενον ἀπόλειψιν ἤδη πραγμάτων ἀφεῖσθαι καὶ ἀναπαύεσθαι γενόμενον καθ' αὑτόν, ἀλλ' ἀεὶ συνοικοῦσα τοῖς σπλάγχνοις καὶ προσπεφυκυῖα νύκτωρ καὶ μεθ' ἡμέραν 'εὕει ἄτερ δαλοῦ καὶ ὠμῷ γήραϊ δῶκε' (Hes. OD 705), βαρεῖα συν- F έκδημος οὖσα δι' ἀλαζονείαν καὶ πολυτελὴς σύνδειπνος ὑπὸ λιχνείας καὶ σύγκοιτος ὀδυνηρά, φροντίσι καὶ μερίμναις καὶ